A

BISETVS. Ὁ Τρυγαῖος τὰς ἑαυτοῦ παῖδας ἀσπασάμενος, καὶ χαίρειν φράσας, πρὸς τοὺς θεατὰς στραφεὶς ταῦτα λέγει.

Ὑμεῖς δέ γ' ὑπὲρ ὧν τοὺς πόνους ἐγὼ πο-
νῶ,
Μὴ βδεῖτε, μηδὲ χέζεθ' ἡμερῶν τριῶν.
Ὡς εἰ μετέωρος οὗτος ὢν ὀσφρήσεται,
Κατωκάρα ῥίψας με βουκολήσεται.

*Quorum labores gratia istos exsequor,*
*Triduúmque totum ne cacate aut pedi-*
*te.*
*Ne si iste in altum subuolans olfecerit*
*Fallens me adaxit, præcipémque perduit.* B

BISETVS. Ὁ Τρυγαῖος τὸν κάνθαρον καταρρέζων, καὶ μαλακοῖς λόγοις καταπραΰνων πρὸς τὸ τὴν πορείαν εὐθέως ποιεῖσθαι προτρέπει.

Ἀλλ' ἄγε Πήγασε χώρει χαίρων,
Χρυσοχάλινον πάταγον ψαλίων
Διακινήσας φαιδροῖς ὠσίν.
Τί ποιεῖς, τί ποιεῖς. ποῖ παρακλίνεις
Τοὺς μυκτῆρας πρὸς τὰς λαύρας.
Ἴει, σαυτὸν θαρρῶν ἀπὸ γῆς.
Κᾆτα δρομαίαν πτέρυγ' ἐκτείνων,
Ὀρθῶς χώρει Διὸς εἰς αὐλάς.
Ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων,
Ἀπό θ' ἡμερινῶν σιτίων πάντων.
Ἄνθρωπε τί δρᾷς οὗτος ὁ χέζων
Ἐν Πειραιεῖ παρὰ ταῖς πόρναις,
Ἀπολεῖς. οὐ κατορύξεις
Κἀπιφορήσεις τῆς γῆς πολλήν;
Κἀπιφυτεύσεις ἕρπυλλον ἄνω,
Καὶ μύρον ἐπιχεῖς, ὡς ἢν τι πεσὼν
Ἐνθένδε πάθω, τοὐμοῦ θανάτου
Πέντε τάλανθ' ἡ πόλις ἡ Χίων
Διὰ τὸν σὸν πρωκτὸν ὀφλήσει.
Οἴμ' ὡς δέδοικα, κοὐκέτι σκώπτων λέγω.
Ὦ μηχανοποιέ. πρόσεχε τὸν νοῦν ὡς ἐμέ.
Ἤδη στρέφει τι πνεῦμα περὶ τὸν ὀμφαλόν.
Κεἰ μὴ φυλάξεις, χορτάσω τὸν κάνθαρον.
Ἀτὰρ ἐγγὺς εἶναι τῶν θεῶν ἐμοὶ δοκῶ.
Καὶ δὴ καθορῶ τὴν οἰκίαν τὴν τοῦ Διός.
Τίς ἐν Διὸς θύραισιν. οὐκ ἀνοίξετε;

*Ergo age Pegase latus gradere,*
*Auricoloris strepitum freni*
*Motare auribus incipe rectis.*
*Quid agis? quid agis? quò declinas*
C *Nares olidos ad secessus?*
*Tollere fidens procul è terra*
*Et pansis perniciter alis*
*Ad Iouis aulam dirige cursum.*
*Parce cacamina tangere nare*
*Atque cibaria quottidiana.*
*Heus tu quid facis, heus tu qui cacas*
*Prope Pirai turpe lupanar.*
D *Perÿ, perÿ, pergin' fodere*
*Atque iniecta condere terra?*
*Et serpyllum super inserere*
*Vnguentúmque infundere, ne si*
*Forte hic corruo perditus vrbs Chia*
*Culi ergo tui pro morte mea*
*Mulctetur quinque talentis.*
*Hei mi extimesco, facere ludos desino.*
E *O machinarie, mentis huc nisum adiice*
*Fœdi vmbilicum spiritus vortex ferit,*
*Ni fers opem mihi, saturabo cantharum.*
*Sed videor esse cælites propter Deos,*
*Et iam tueri splendidam Iouis domum.*
*Quis limina obseruat Iouis? quin panditis?*

CH. Μὴ βδεῖτε] Propter Scarabæũ, hoc ait, ne stercoris odor eũ ex alto eliciat. βδεῖν aliud est quàm πέρδειν. Est enim hoc pedere, illud visire vel vissire, vnde Gallicum nostrum *vessir* (honor sit auribus nec odor in naribus) Inde vesicam dictã credibile est ex analogia, βδόλον & βδέσμα Græci dicunt, vetus Glossarium vissium & visionem interpretatur. Neque aliorsum accipiẽdum Cacæphaton illud quod est in erudita Ciceronis ad Pætũ epistola, vbi cũ ait Intercapedo & Diuisio habere aliquid obscænũ, nõ dubito quin sit propter finales syllabas pedo & visio, quibus significantur πορδὴ & βδέσμα. Quæ etiam animaduersa à magni Dictatoris magno filio, Scaligerum dico.

Σχόλια. Κατωκάρα.] κατωφερῶς. ὅτι τὸ ἐπὶ τῆς κεφαλῆς πεσεῖν κατωκάρα λέγεται ἀττικῶς, ὑφ' ἕν. Βουκολήσεται.] ἀπατήσεται. καὶ βουκόλημα τὸ θέλγητρον. ὡς τό, καὶ ὅπως ἔχῃ τι βουκόλημα τῆς λύπης, ἀνέθηκε τοῖς τοίχοις ποικίλας γραφὰς ζώων. Ἀλλ' ἄγε Πήγασε.] μετὰ τὸ παρακελεύσασθαι τῷ ὄχλῳ καὶ τοῖς ἑαυτοῦ παιδίοις κατὰ μηδὲν ἐρεθίσαι τὸν κάνθαρον, παρακελεύεται αὐτῷ. F Εἴσθεσις ἐστὶ τῆς διπλῆς ἐκ στίχων ἀναπαιστικῶν διμέτρων ἀκαταλήκτων ιθ΄. πλὴν τοῦ ιγ΄. ἔστι γὰρ δίμετρος ὑπερκαταληκτικὸς ὅλῳ ποδὶ μεμειωμένος φαίνεται. ὑφ' οὓς αἱ συνήθεις δύο διπλαῖ ἔξω νενευκυῖαι. ἐν ἐκθέσει δὲ ἰαμβεῖα τρίμετρα ἀκατάληκτα ζ΄. ἐπὶ τῷ τέλει δὲ κορωνίς. Ψαλίων.] τῶν χαλινῶν. Φαιδροῖς ὠσίν.] ὀρφέσι. μὴ ὀρθοῖς. τοῦτο γὰρ πάσχουσιν οἱ ἵπποι, ὥσπερ παροξυνόμενοι εἰς ἄκρατον δρόμον. Κάκκης.] κακίας. οἱ γὰρ ἀρχαῖοι τὴν ἀκαθαρσίαν κάκκην ἔλεγον, καὶ μάλιστα τὸ δύσοσμον ἀποπάτημα. Παρὰ ταῖς πόρναις.] πορνεῖον γὰρ ἦν ἐκεῖσε. ἐμπορεῖον γάρ ἐστιν. G καὶ διὰ τὸ κατωφερὲς τῶν ναυτῶν, ἐκεῖσε ἔτρεχον αἱ πόρναι. Οὐ κατορύξεις.] οὐ συγχώσεις καὶ ἀποκρύψεις τὴν σαυτοῦ κόπρον. Ἕρπυλλον.] εἶδος ἄνθους σαμψύχῳ ὅμοιον. μάλιστα δὲ παρὰ τοῖς ὕδασι θάλλει.

CHRIST. Κατωκάρα βουκολήσεται] Prono præcipitem agi decursu, vt ait Catullus. Attici κατωκάρα dicebant. βουκολεῖν autem est decipere cum aliqua